✠

# ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΩΑΝΝΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

## ΣΑΓΓΑΗΣ ΚΑΙ ΣΑΝ ΦΡΑΝΤΣΙΣΚΟ

ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

**(Μετὰ Μουσικοῦ Παραρτήματος)** ➔

Ψαλλομένη τῇ 19ῃ ΙΟΥΝΙΟΥ

•

**Ἱερὰ Ἀκολουθία:**

Ποίημα τῆς Ἀδελφότητος τῆς Ἱερᾶς Μονῆς
τῶν Ἁγίων Κυπριανοῦ καὶ Ἰουστίνης Φυλῆς Ἀττικῆς.

•

**Μουσικὸ Παράρτημα:**

Ποίημα Δημητρίου Μαρατσώλα, Φιλομούσου καὶ Φιλολόγου.

•

© Ἱερὰ Μονὴ Ἁγίου Κυπριανοῦ
Φυλὴ Ἀττικῆς
Τ.Θ. 46006 – ΑΝΩ ΛΙΟΣΙΑ 133 10 GREECE
Τηλέφωνα: 210 24 11 380
Τηλεαντίγραφα (Telefax): 210 24 11 080
E-mail : kyprianos@hol.gr

# ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν Στίχους ϛ΄ καὶ ψάλλομεν
**Στιχηρὰ Προσόμοια.**

## Ἦχος α΄. Τῶν οὐρανίων.

Τῶν Ὀρθοδόξων τὰ πλήθη,
ἑορταζέτωσαν,
τοῦ Ἰωάννου πάντες,
εὐλαβούμενοι ἆθλα·
οὗτος γὰρ ἐφάνη πρᾶος ποιμήν,
καὶ Πατέρων ὁμότροπος,
καὶ διαπρέψας ἐν κόποις ἀσκητικοῖς,
ἀφθαρσίᾳ νῦν δοξάζεται (δίς).

Τῶν Ὀρθοδόξων οἱ δῆμοι,
προσκυνησάτωσαν,
Ἀρχιερέως νέου,
θαυματόβρυτον Σκῆνος·
στῦλος γὰρ ἐδείχθη ὑπομονῆς,
καὶ Ἀγγέλων συνόμιλος,
καὶ διαλάμψας ἐν λόγῳ καὶ ἀρετῇ,
Παραδείσῳ νῦν δοξάζεται (δίς).

Τῶν Ὀρθοδόξων χορεῖαι,
ἀγαλλιάσθωσαν,
τὸν τῆς Ῥωσίας γόνον,
γηθοσύνως τιμῶντες·
ὤφθη γὰρ ἐσχάτως σκέπη πιστῶν,
καὶ λιμὴν παρακλήσεως,
ταπεινωθεὶς δὲ ἀμέτρως ἐπὶ τῆς γῆς,
οὐρανίοις νῦν δοξάζεται (δίς).

## Δόξα. Ἦχος πλ. δ΄. ➔

Τῶν εὐσεβῶν τὰ πλήθη,
τὸν θαυματουργόν Σε ὑμνοῦμεν,
Ἰωάννη θεσπέσιε·

διὰ γὰρ τοῦ Σοῦ Σκήνους,
προχέονται ῥεῖθρα,
παμμάκαρ ἰάσεων·
ἐσχάτοις καιροῖς,
καὶ ἐν μέσῳ κόσμου,
ἀσκητῶν ἐμιμήσω τὰ σκάμματα·
ἐπίγειε Ἄγγελε,
Πατέρων ὁμότροπε καὶ ὁμόφρον·
καὶ νῦν πρέσβευε τῷ Σωτῆρι,
ἐλεηθῆναι τοὺς τιμῶντάς Σε.

**Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.**

Ὁ Βασιλεὺς τῶν οὐρανῶν,
διὰ φιλανθρωπίαν,
ἐπὶ τῆς γῆς ὤφθη,
καὶ τοῖς ἀνθρώποις συνανεστράφη·
ἐκ Παρθένου γὰρ ἁγνῆς, σάρκα προσλαβόμενος,
καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως.
Εἷς ἐστιν Υἱός, διπλοῦς τὴν φύσιν,
ἀλλ᾽ οὐ τὴν ὑπόστασιν·
διὸ τέλειον αὐτὸν Θεόν, καὶ τέλειον ἄνθρωπον,
ἀληθῶς κηρύττοντες,
ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν·
ὅν ἱκέτευε, Μήτηρ ἀνύμφευτε,
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἰς τὴν Λιτὴν**

Τὸ Ἰδιόμελον τοῦ Ἁγίου τῆς Μονῆς
καὶ εἶτα τὰ ἑξῆς.

**Ἦχος α΄.** →

Δεῦτε Ἱεραρχῶν φιλεόρτων θεῖαι χορεῖαι,
καὶ ἐν ἐγκωμίων τοῖς ἄνθεσι,
τὴν Λάρνακα κυκλώσατε,
Ἰωάννου τοῦ ἀρτιφανῶς ἐκλάμψαντος.
Οὗτος γὰρ ἄθλοις ἀσκητικοῖς,

ὡς ἄστρον ἐν μέσῳ κόσμου ἀνέτειλε·
διὸ καὶ νῦν πηγάζει ἡμῖν ῥεῖθρα ἰάσεων καὶ ἔλεος.
Ῥωσία σκίρτησον,
Κίνα εὐφράνθητι καὶ Σαγγάη,
καὶ ἡ Δύσις λαμπρύνθητι·
ὅτι τοῦ θεόφρονος Ποιμένος,
ἐδέχθητε τὰς εὐλογίας δαψιλῶς·
ὧν καὶ ἡμᾶς,
καταξίωσον Πάτερ,
προσιόντας εὐλαβῶς τῷ Λειψάνῳ Σου.

### Ἦχος β΄. →

Ἡ τῶν φιλεόρτων Ἱερέων ὁμήγυρις,
τῇ τοῦ Ἰωάννου πανηγύρει,
δεῦτε προσδράμετε ἐν εὐλαβείᾳ.
Οὗτος γὰρ ὡς ἄσαρκος ἐν γῇ ἤθλησε,
καὶ τῶν Ἀγγέλων τοὺς δήμους ἐξέπληξεν ἐν τοῖς ἐσχάτοις,
καὶ ὡς θαυμαστὸς Ποιμήν,
ἴθυνε πρὸς τοὺς λειμῶνας τῆς σωτηρίας τοὺς πιστούς·
νῦν δὲ αὐτοῦ ἡ Λάρναξ ἰάσεων πηγή,
ἀνεδείχθη πᾶσι Χριστοῦ τῇ χάριτι.

### Ἦχος γ΄. →

Δεῦτε ἅπαντα τὰ πλήθη τῶν Μοναχῶν,
Ἰωάννην μέλψωμεν τὸν εὐκλεῆ καὶ θεομακάριστον·
τῆς Ῥωσίας τὸν βλαστόν,
καὶ Σαγγάης πρόεδρον τὸν θεόλεκτον·
στῦλος γὰρ ἐδείχθη ἐνθέων ἠθῶν·
διὸ καὶ ἔτυχε θείας δόξης,
ἡμᾶς δὲ ῥύεται,
τοὺς ἐν ᾄσμασι καινοῖς καὶ πόθῳ προσιόντας,
τῷ ἀκηράτῳ νῦν Λειψάνῳ αὐτοῦ.

### Δόξα. Ἦχος δ΄. →

Δεῦτε εὐφημήσωμεν λαοί,
Ἱεραρχῶν τὸ κλέος τὸ καινόν,

τὸν θαυμαστὸν Ἰωάννην.
Οὗτος γὰρ τὸ τάλαντον λαβών,
χάριτι ἐπηύξησε·
καὶ ἀφθάρτων στεφάνων τυχών,
Ἀσωμάτων τοῖς χοροῖς,
συνευφραίνεται ἐν οὐρανοῖς.
Αὐτοῦ τῇ ἁγίᾳ Σορῷ,
νῦν προσπέσωμεν ἐν πόθῳ,
ἴασιν αἰτούμενοι,
σωμάτων καὶ ψυχῶν ἡμῶν.

## Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου φύλαττε,
εὐλογημένη Θεοτόκε,
ἵνα Σε δοξάζωμεν,
τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

## Εἰς τὸν Στίχον
## Στιχηρὰ Προσόμοια.
## Ἦχος δ΄. Ὡς γενναῖον.

Ἱεράρχην ὑμνήσωμεν,
ἐγκωμίων τοῖς ἄνθεσι,
καὶ κροτοῦντες ἅπαντες,
ἀνακράξωμεν·
ὢ Ἰωάννη θαυμάσιε,
ἐπίγειε Ἄγγελε,
τῶν Ὁσίων μιμητά,
καὶ Πατέρων ἐκτύπωμα,
καὶ ὁμόαθλε,
Ὀρθοδόξων τὸ καύχημα τὸ νέον,
προστατεύων μὴ ἐλλίπῃς,
τοὺς ἐκτελοῦντας τὴν μνήμην Σου.

Ἀποστόλων ὁμότροπος,
καὶ Μαρτύρων συνόμιλος,
ἀνεδείχθης ὄντως,

καὶ πλήρης χάριτος·
ὅτι γενναίως διέλυσας,
ἐχθροῦ τὰ τεχνάσματα
καὶ ἐκήρυξας Χριστόν,
καὶ ἐν λόγοις καὶ πράξεσιν·
Ὅν ἱκέτευε,
δωρηθῆναι εἰρήνην Ἐκκλησίᾳ,
καὶ τοῖς πίστει Σε τιμῶσιν,
ὦ Ἰωάννη πανθαύμαστε.

Εὐσεβῶν τὰ συστήματα,
εὐλαβῶς νῦν κυκλώσωμεν,
Ἰωάννου λάρνακα,
θαυματόβρυτον·
ὅτι ἀγῶνας ἐτέλεσε,
καὶ δαίμονας ἤλασε,
καὶ σαρκὶ περιπολῶν,
ὡς ἀσώματος ἔζησε,
καὶ ἐδόξασεν,
Ὀρθοδόξων τὴν Πίστιν τὴν Ἁγίαν,
καὶ στεφάνων ἠξιώθη,
παρὰ Θεοῦ Παντοκράτορος.

**Δόξα. Ἦχος γ΄.** ➔

Ἀποστολικῶν Παραδόσεων,
ζηλωτὴς γέγονας θερμότατος, Πάτερ Ἰωάννη.
Τὴν γὰρ τῆς πράξεως βάσιν παμμάκαρ θέμενος,
θεωρίας εἰς ἐπίβασιν,
ἐδείχθης Πατέρων ὁμότροπος ἅμα καὶ διάδοχος,
καὶ πλούτῳ χαρισμάτων τοῦ Πνεύματος πᾶσι διέλαμψας·
τῆς Παρθένου δὲ θεόπαιδος θεράπων γενόμενος, δαιμόνων κακουργίας κατεπάτησας·
ὧν τῆς πλάνης δεόμεθα ῥυσθῆναι ἡμᾶς,
προσκυνοῦντας Σου Λειψάνου τὴν θήκην,
καὶ τὴν μνήμην Σου τιμῶντας ἐν ᾄσμασι.

## Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Ἀσπόρως ἐκ θείου Πνεύματος,
βουλήσει δὲ Πατρός,
συνείληφας Υἱὸν τὸν τοῦ Θεοῦ,
ἐκ Πατρὸς ἀμήτορα,
πρὸ τῶν αἰώνων ὑπάρχοντα·
δι᾽ ἡμᾶς δὲ ἐκ Σοῦ ἀπάτορα γεγονότα,
σαρκὶ ἀπεκύησας, καὶ βρέφος ἐγαλούχησας.
Διὸ μὴ παύσῃς πρεσβεύειν,
τοῦ λυτρωθῆναι κινδύνων τὰς ψυχὰς ἡμῶν.

## Ἀπολυτίκιον.

## Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἐν κόσμῳ ἐβίωσας,
ὡς ἀσκητὴς θαυμαστός,
καὶ γέγονας στήριγμα,
τῶν λογικῶν τοῦ Χριστοῦ,
προβάτων μακάριε.
Ἄφθαρτον τὸ Σὸν Σκῆνος
καὶ ἀκέραιον ὤφθη,
ῥέον ἀδιαλείπτως,
τῶν θαυμάτων τὴν χάριν·
διό Σε, ὦ Ἰωάννη, πόθῳ γεραίρομεν.

## Θεοτοκίον. Ὅμοιον.

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον,
καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον,
διὰ Σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται,
Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος,
καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος·
δι᾽ οὗ ἀναστήσας τὸν πρωτόπλαστον,
ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, **Κάθισμα.**

**Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.**

Ὡς ἄσαρκος ἐν γῇ,
διεβίωσας Πάτερ,
καὶ γέγονας λαμπρόν,
τῆς Τριάδος δοχεῖον,
καὶ ἄνθρωπος οὐράνιος,
καὶ ἐπίγειος ἄγγελος,
καὶ κατέπληξας,
τοῖς τῶν θαυμάτων Σου ῥείθροις,
τὰ συστήματα,
τῶν εὐσεβῶς προσκυνούντων,
τὸ ἄφθαρτον Σκῆνος Σου.

**Θεοτοκίον. Ὅμοιον.**

Θεὸν μετὰ Θεόν,
Σεραφὶμ Ὑπερτέραν,
μεθόριον κτιστῆς,
καὶ ἀκτίστου οὐσίας,
Παρθένε ἀπειρόγαμε,
καὶ ἀνθρώπων τὸ καύχημα,
Σὲ ἀνέδειξεν,
ὁ Σὸς Υἱὸς καὶ Δεσπότης,
ὡς ἐσκήνωσε,
τῇ Σῇ ἀχράντῳ νηδύϊ,
θεώσας τὸ πρόσλημμα.

Μετὰ τὴν β΄ Στιχολογίαν, **Κάθισμα.**

**Ἦχος γ΄. Θείας πίστεως.**

Μάρτυς γέγονας τῇ προαιρέσει,
χαριτώνυμε δοῦλε Κυρίου,
Ἀρχιερέων καινὸν ἐγκαλλώπισμα,
καὶ πειρασμοὺς ἐνεγκὼν γενναιότατα,
τῆς ἀφθαρσίας τοῦ σκήνους ἠξίωσαι.
Πάτερ Ὅσιε, Ῥωσίας τὸ θεῖον βλάστημα,
ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## **Θεοτοκίον. Ὅμοιον.**

Νόμοι φύσεως καινοτομοῦνται,
ἐν Σοί, Ἄχραντε Θεοκυῆτορ·
τὸ γὰρ καὶ μόνον καινὸν ὑπὸ ἥλιον,
μυσταγωγεῖται ἀφράστως τῷ τόκῳ Σου,
καὶ ἐν σαρκὶ φανεροῦται ὁ Ἄκτιστος·
Ὅν ἱκέτευε ῥυσθῆναι τῶν περιστάσεων,
προστρέχοντας ἡμᾶς τῇ μεσιτείᾳ Σου.

## Μετὰ τὸν Πολυέλεον, **Κάθισμα.**
## **Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Τὰ ἀγωνίσματα καὶ τὰ παλαίσματα,
ἅ ἐπετέλεσας τῇ θείᾳ Χάριτι,
τῶν Ἀσωμάτων οἱ χοροὶ ἐθαύμασαν μακάριε·
ὅθεν νῦν προστρέχοντες τῷ Ἀφθάρτῳ Λειψάνῳ Σου,
τὶ Σὲ ὀνομάσωμεν ἀποροῦντες ἱστάμεθα·
διὸ ἐν κατανύξει βοῶμεν·
χαῖρε, θεόφρον Ἰωάννη.

## **Θεοτοκίον. Ὅμοιον.**

Τὸ πολυποίκιλον τῶν χαρισμάτων Σου,
καὶ ἀνερμήνευτον τοῦ θείου τόκου Σου,
ὁ δῆμος ἅπας τῶν πιστῶν, δοξάζομεν Θεοτόκε·
ἥνωσας οὐράνια καὶ ἐπίγεια Ἄχραντε,
ἔῤῥηξας τὸ χρόνιον ἁμαρτίας χειρόγραφον·
διὸ τῶν Ὀρθοδόξων ὁ δῆμος,
Χαῖρέ Σοι κράζει, ὦ Παρθένε!

## Μετὰ τὸ Εὐαγγέλιον, **Ἰδιόμελον.** ➔
## **Ἦχος πλ. β΄.**

Ἰωάννη, ἡ χάρις τῶν Σῶν θαυμάτων,
βλύζει ἀπαύστως,
καὶ πλῆθος τῶν πιστῶν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, προστρέχει Σοῦ τῇ σεπτῇ Λάρνακι,
κραυγάζον· Ἱεράρχα χαριτώνυμε,
λιταῖς Σου σκέπε ἡμᾶς.

## Κανὼν

## Ἦχος πλ. δ΄. Κατ᾽ ἀλφάβητον.

## ᾨδὴ α΄. Ὑγρὰν διοδεύσας.

Ἀφθάρτῳ Λειψάνῳ Σου εὐλαβῶς,
καὶ ἐν εὐφροσύνῃ,
νῦν προσπίπτω καὶ ἐκβοῶ·
παράσχου μοι χάριν Ἰωάννη,
ἵνα ὑμνήσω τὴν δόξαν τῶν ἄθλων Σου.

Βαδίσας ἀσκήσει θεοφιλεῖ,
καὶ τὴν σκοτομήνην,
διαλύσας τὴν τῶν παθῶν,
ἐδέχθης ἀπλέτως οὐρανόθεν,
τὸν φωτισμὸν τῆς Τριάδος μακάριε.

### Θεοτοκίον.

Γενναίως ἀθλήσας κατὰ σαρκός,
καὶ τῇ ἀντιλήψει,
τῆς Θεόπαιδος Μαριάμ,
φωστὴρ ἀνεδείχθης τοῖς ἐν σκότει,
καὶ ὁδηγὸς πλανωμένων καὶ στήριγμα.

## ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Διανύσας τὸν βίον,
ὡς ἐπὶ γῆς Ἄγγελος,
καὶ τὴν Ἐκκλησίαν κοσμήσας,
τῷ Σῷ Σκηνώματι,
ἐξ οὗ προχέονται,
τῶν θαυμασίων τὰ ῥεῖθρα,
ἀναπαύῃ μάκαρ νῦν,
θείοις σκηνώμασιν.

Ἐκ νεότητος Πάτερ,
δοῦλος Χριστοῦ γέγονας,
καὶ θεολογίας τὴν Χάριν,
καταπεπλούτηκας,
δι᾿ ἧς κατήρδευσας,
τοῦ λογικοῦ Σου ποιμνίου,

τὰς καρδίας Ἅγιε,
πρὸς βίον κρείττονα.

### Θεοτοκίον.

Ζηλωτὴν τοῦ Κυρίου,
καὶ καθαρὸν ἔσοπτρον,
τῆς παρθενικῆς πολιτείας,
Μῆτερ ἀνέδειξας,
τὸν λαμπρυνθέντα τὸν νοῦν,
καὶ τὴν ψυχὴν Ἰωάννην,
καὶ ὀφθέντα ἄριστον μύστην τῆς Χάριτος.

### Μεσῴδιον Κάθισμα.
### Ἦχος πλ. δ΄. Τὸ προσταχθέν.

Ἱεραχίας ταῖς στολαῖς ὡραϊσμένος,
καὶ καθαρᾷ Σου πολιτείᾳ ἡγνισμένος,
καὶ ἐν θαύμασι λάμπων, Πάτερ Ἰωάννη,
ἐδείχθης τῶν οὐρανίων μυσταγωγός,
καὶ κήρυξ Ὀρθοδοξίας τῆς φωταυγοῦς·
νῦν δὲ πᾶσα ἡ ποίμνη Σου,
κυκλοῦσα θήκην τὴν σεπτήν,
Λειψάνου Σου κραυγάζει Σοι·
χαίροις μύστα τῆς Χάριτος!

### Θεοτοκίον. Ὅμοιον.

Μεγαλυνέσθω ἡ Παρθένος τε καὶ Μήτηρ,
καὶ ἐν ᾠδαῖς ὡς Θεοτόκος εὐφημείσθω·
τῆς Τριάδος τὸν Ἕνα ἔτεκεν ἀφράστως,
τὸν Λόγον τὸν ὁμοούσιον τῷ Πατρί,
καὶ Εἷς γνωρίζεται φύσεσιν ἐν δυσί,
Λυτρωτὴς ὁ Θεάνθρωπος,
θελήσεις ἔχων διπλᾶς,
ὁμοῦ καὶ ἐνεργείας τε,
εἰς πίστωσιν τῶν φύσεων.

### ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ἡ ζωή Σου ἐξέπληξε,
Πάτερ Ἰωάννη, Ἀγγέλων Τάγματα,

Ὀρθοδόξων δὲ συστήματα,
διηγοῦνται ταύτην καὶ ὑμνοῦσι Σε.

Θησαυρὸς ἀνεξάντλητος
θείων χαρισμάτων ὤφθη ἡ θήκη Σου,
ἀρδευόντων τὰς ψυχὰς ἡμῶν,
εὐσεβῶς ἀεὶ μακαριζόντων Σε.

**Θεοτοκίον.**

Ἱλασμὸς ἡμῖν Δέσποινα,
φάνηθι ταχέως τοῖς Σοι προστρέχουσιν,
Ἰωάννην δὲ δοξάζουσι,
τὸν θεράποντά Σου Θεονύμφευτε.

**Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.**

Κόπασον ταχύ,
τῶν δαιμόνων πανουργεύματα,
καὶ τὸ κλυδώνιον ἐχθίστων παθῶν,
ταῖς Σαῖς πρεσβείαις,
Ἰωάννη θεοδόξαστε.

Λάμψας τηλαυγῶς,
ὑπὲρ ἥλιον πανθαύμαστε,
ὡς τῆς Τριάδος σκήνωμα γεγονώς,
νῦν διαλύεις
τὰς θλίψεις τῶν περιστάσεων.

**Θεοτοκίον.**

Μήτηρ τοῦ Θεοῦ,
ἐχρημάτισας Πανύμνητε,
ὡς τῆς Τριάδος τέξασα ἀληθῶς,
καὶ ὑπὲρ φύσιν,
τὸν Ἕνα ἐν δύο φύσεσιν.

**Ὠδὴ ϛ΄. Τὴν δέησιν.**

Νεφέλη τῶν Σῶν χαρίτων Ἅγιε,
καταδρόσισον ἡμῶν τὰς καρδίας,
καὶ φλεγμονὴν τῶν παθῶν κατασβέσας,

τῆς Παραδείσου ἡμᾶς ἀναψύξεως,
δεόμεθά Σου ἐκτενῶς,
Ἰωάννη, τυχεῖν καταξίωσον.

Ξενίζεται τῶν πιστῶν ὁμήγυρις,
Σοῦ τὸν βίον εὐσεβῶς μελετῶσα,
ὅτι ἀμέτρως βιάσας τὴν φύσιν,
καὶ ἀνυψώσας εὐχῇ τὴν διάνοιαν,
ἀγάπῃ δὲ θείᾳ θελχθείς,
ἀνεδείχθης Ἀγγέλων ἐφάμιλλος.

**Θεοτοκίον.**

Ὁ Κτίστης Σου ἐξ ἁγνῶν αἱμάτων Σου,
ἐσαρκώθη Παναγία Παρθένε,
καὶ Ὑποστάσει μιᾷ θείου Λόγου,
αἱ δύο φύσεις ἀτρέπτως ἡνώθησαν
καὶ εἷς Χριστὸς ὁ Ἰησοῦς,
ἐν δυσὶ ταῖς οὐσίαις γνωρίζεται.

**Κοντάκιον.**
**Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.**

Τῷ Ἱεράρχῃ,
ἀσκητῇ νῦν τὰ ἐγκώμια,
ὡς λυτρωθέντες,
διὰ Σοῦ τῶν περιστάσεων,
ἀναπέμπομεν ἐν πίστει Σοι Ἰωάννῃ·
καὶ ἐν πόθῳ,
ἀσπαζόμενοι μακάριε,
τοῦ Λειψάνου Σου τὴν θήκην τὴν χαρίεσσαν, ἀνακράζομεν,
χαίροις, Πάτερ θεόφθογγε!

**Συναξάριον.**

Τῇ ΙΘ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ θαυματουργοῦ, Ἀρχιεπισκόπου χρηματίσαντος διαδοχικῶς Σαγγάης τῆς ἐν Κίνᾳ, εἶτα Δυτικῆς Εὐρώπης καὶ ἐν τέλει Δυτικῆς Ἀμερικῆς, ἐν εἰρήνῃ δὲ τελειωθέντος ἐν ἔτει σωτηρίῳ 1966ῳ.

**Στίχοι.**

Ἔπληξεν ἐχθροῦ παγίδων τέχνας βίᾳ,
Σοῦ τοῦ βοηθήσαντος, Σῶτερ, δυνάμει·
Ἐννεακαιδεκάτῃ ἤρθη Ἰωάννης μοναῖς οὐρανοῦ.

**Οὗτος** ἦν γόνος οἰκογενείας εὐγενοῦς, γεννηθεὶς ἐν τῷ Χαρκόβῳ τῆς Ρωσίας ἐν ἔτει σωτηρίῳ 1896ῳ· ἀνατραφεὶς δὲ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου παρὰ τῶν εὐσεβῶν αὐτοῦ γονέων Βόριδος καὶ Γλαφύρας, ἐμορφώθη ἱκανῶς εἴς τε τὴν θύραθεν καὶ τὴν ἐσωτερικὴν κατὰ Χριστὸν σοφίαν, ὢν δεξιᾶς φύσεως, φιλήσυχος καὶ ὑπάκουος, ἀσκητικὸς καὶ εὐλαβής.

**Κρατήσαντος,** παραχωρήσει Θεοῦ, τοῦ ἀθεϊσμοῦ ἐν Ρωσίᾳ, ἠκολούθησεν ἐν τῇ ἐξορίᾳ κλῆρον καὶ λαόν, λαβὼν δὲ τὸ τῆς ἀρχιερωσύνης χρῖσμα, διέλαμψεν ἄχρι τῆς ὁσίας αὐτοῦ κοιμήσεως, ἐν ἔτει σωτηρίῳ 1966ῳ, ὡς ποιμὴν θεοφόρος πλήρης ἀγάπης καὶ αὐταπαρνήσεως, ὡς ἀσκητὴς θαυμαστὸς ἐν μέσῳ κόσμου διαβιών, ὡς τῶν ἐκκλησιαστικῶν ἀκολουθιῶν καὶ τῆς λειτουργικῆς τάξεως καὶ ζωῆς λάτρης, κοινωνῶν καθ᾽ ἑκάστην τῶν Ἀχράντων τοῦ Χριστοῦ Μυστηρίων, ὡς θεολόγος χαρισματικός, διδάσκαλος καὶ παιδαγωγός, τέλος δὲ ὡς ἱεραπόστολος δραστήριος εἰς Κίναν, Δυτικὴν Εὐρώπην καὶ Ἀμερικήν, σωτηρίας καὶ ζωῆς αἰωνίου ἀναριθμήτων ψυχῶν αἴτιος γενόμενος.

**Ὅθεν** καὶ ὁ δι᾽ αὐτοῦ δοξασθεὶς ἐν Τριάδι ἀληθὴς Θεὸς ἡμῶν ἐδόξασεν αὐτὸν ζῶντα καὶ μετὰ θάνατον τῷ τῆς θαυματουργίας χαρίσματι, μάλιστα δὲ τῇ ἀφθαρσίᾳ τοῦ ἱεροῦ αὐτοῦ Λειψάνου, ὅπερ, ἀνακομισθὲν ἐν ἔτει σωτηρίῳ 1994ῳ, ἐν τῷ παρ᾽ αὐτοῦ ἀνεγερθέντι ἱερῷ ναῷ τῆς Ὑπερευλογημένης Θεοτόκου «Πάντων θλιβομένων ἡ Χαρὰ» εἰς Σὰν Φραντσίσκο Καλιφορνίας τῶν Ἡνωμένων Πολιτειῶν Ἀμερικῆς ἐτέθη, ἔνθα καὶ τελεῖται ἡ ἱερὰ αὐτοῦ Σύναξις.

## Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Παιδευθεὶς θεαρέστως,
ὡς ἠθέλησας Πάτερ,
τοῖςθεῖοις γράμμασι,
δογμάτων εὐσεβείας,
καὶ Πίστεως Ἁγίας,
ἀνεδείχθης ὑπέρμαχος,

ὡς τῶν Πατέρων ἡμῶν,
ἀκόλουθος ἐν πᾶσι.

Ῥωμαλέᾳ ἀθλήσει,
κατηδάφισας τέχνας,
δεινοῦ ἀλάστορος,
καὶ ὤφθης Ἐκκλησίας,
ὀχύρωμα καὶ σκέπη,
ἐν ἐσχάτοις τοῖς ἔτεσιν,
ἀποτειχίζων ἀεί,
ἐχθροῦ τὰς ἐπιθέσεις.

**Θεοτοκίον.**

Σωμάτων ἀσθενείας,
Ὑπερύμνητε Κόρη,
ψυχῶν τε τραύματα,
πρεσβείαις Σου ἀπαύστοις,
πρὸς Κύριον τῆς δόξης,
θεραπεύουσα φάνηθι,
καὶ σκοτασμὸν τοῦ νοός,
φωτίζουσα μὴ παύῃς.

**ᾨδὴ η΄. Τὸν Βασιλέα.**

Τῶν Οὐρανίων,
τὸν ἐραστὴν Ἱεράρχην,
καὶ ταμεῖον ἀρετῶν ἀνυμνοῦμεν,
τὸν καλὸν ποιμένα,
καὶ στῦλον εὐσεβείας.

Ὑφηγητήν Σε,
τῶν ἀρετῶν Ἰωάννη,
καὶ τῆς πίστεως τὸν γνώμονα πάντες,
νῦν ὁμολογοῦμεν,
καὶ δόξαν Ἐκκλησίας.

**Θεοτοκίον.**

Φωταγωγίᾳ,
τῶν Σῶν λιτῶν Θεοτόκε,

ἀθυμίας μου τὴν ζάλην ἀπώθου·
ἔτεκες γὰρ Μῆτερ,
φωστῆρα τῶν ἐν σκότει.

## ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.

Χαρίτων θεῖα ῥεῖθρα,
χέονται ἀπαύστως,
ἐν τῷ ἁγίῳ Ναῷ σου εὐφραίνοντα,
καὶ τὴν Μονὴν τῶν Ἀγγέλων,
καταδροσίζοντα.

Ψυχῶν τε καὶ σωμάτων,
ταύτης Σου τῆς Ποίμνης,
γενοῦ προστάτης καὶ τείχισμα ἄρρηκτον,
σὺν Ἀσωμάτων τῇ σκέπῃ,
καὶ τοῦ Πατρὸς ἡμῶν.

## Θεοτοκίον.

Ὡραΐσας Παρθένε,
φύσιν τῶν ἀνθρώπων,
τοῖς οὐρανίοις συνάψασα ταύτην Ἁγνή,
καὶ τῶν Ἀγγέλων ἡ Μάνδρα,
νῦν μακαρίζει Σε.

## Ἐξαποστειλάριον.

## Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τῆς εὐσεβείας τὸν λόγον,
εἰς τὰς καρδίας τῶν πιστῶν,
ἐνθέῳ ζήλῳ ἐνσπείρας,
νῦν ἀπολαύεις τῶν καρπῶν,
ὦ Ἰωάννη τρισμάκαρ,
ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου.

## Θεοτοκίον. Ὅμοιον.

Σὲ τοῦ Φωτὸς Μητέρα,
καὶ οἰκητήριον Θεοῦ,
τὴν ὑμνουμένην ἀπαύστως,
ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς,

καθικετεύομεν πάντες,
υἱοὺς φωτὸς ἡμᾶς δεῖξον.

## Εἰς τοὺς Αἴνους

Ἱστῶμεν στίχους δ΄, καὶ ψάλλομεν
**Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου.**

Ὢ τοῦ παραδόξου θαύματος,
ἐν τοῖς ἐσχάτοις καιροῖς,
Ἰωάννη μακάριε,
διαλάμπεις θαύμασιν,
ἀσθενείας ἰώμενος·
ἀγγελικῶς γὰρ πολιτευσάμενος,
σεπτόν Σου Σκῆνος ἔμεινεν ἄφθορον.
Ὅθεν βοῶμέν Σοι·
Πάτερ χαριτώνυμε,
σκέπε ἡμᾶς,
θλίψεων τὰ κύματα,
θραύων πρεσβείαις Σου (δίς).

Ὢ τοῦ παραδόξου θαύματος,
ὢ Ἱεράρχα Χριστοῦ,
ἀνεδείχθης συνόμιλος,
καὶ Μαρτύρων σύναθλος,
ἐν ἀσκήσει καὶ σκάμμασι·
δι᾽ ἐγκρατείας σαυτὸν ἐκάθηρας,
καὶ δι᾽ ἀγάπης σαυτὸν ἀνύψωσας·
ὅθεν τὸ Σκῆνός Σου,
ὤφθη ἀδιάφθορον,
χέον πιστοῖς,
δρόσον τὴν οὐράνιον,
καὶ ῥεῖθρα Χάριτος.

Ὢ τοῦ παραδόξου θαύματος,
χρῖσμα τὸ θεῖον λαβών,
Ἰωάννη πανθαύμαστε,
ὡς ποιμὴν διέλαμψας,

φιλανθρώπῳ φρονήματι,
καὶ Παραδείσου ποθῶν σκηνώματα,
πολλαπλασίως ηὔξησας τάλαντον·
ὅθεν προσπίπτοντες,
θήκῃ τοῦ Λειψάνου Σου,
πίστει θερμῇ,
Χάριν ἀρυόμεθα,
καὶ θεῖον ἔλεος.

### Δόξα. Ἦχος πλ. α΄. ➔

Δεῦτε εὐσεβῶν τὰ συστήματα,
δεῦτε γηθοσύνως προσδράμωμεν·
δεῦτε καταστέψωμεν Λάρνακα τοῦ Ἰωάννου,
ἐν ἐγκωμίοις καὶ ἐν ᾠδαῖς εὐλαβῶς.
Σήμερον γὰρ οἱ χοροὶ τῶν Ἀσωμάτων χαίρουσι,
δεχόμενοι τὸν ἐπὶ γῆς θαυμαστῶς,
βιώσαντα ὡς ἄσαρκον.
Καὶ ἡμεῖς τὸν ἐπίγειον Ἄγγελον τιμῶντες,
πόθῳ κυκλοῦμεν τὸ ἄφθαρτον αὐτοῦ Σκήνωμα.
Σύλλογος Ἀρχιερέων πανηγυρίζει,
καὶ Ἱερέων ἡ ὁμήγυρις,
ἀγρυπνεῖ Μοναστῶν δὲ ἡ χορεία,
ἱκετεύοντες Ἱεράρχην κλεινόν·
πάσας τῶν αἱρέσεων συγχύσεις κόπασον,
Ὀρθοδόξοις δωρούμενος τὴν τοῦ Χριστοῦ ὁμόνοιαν, Μοναζούσαις δὲ κατάνυξιν,
ἐν τῷ Ναῷ Σου ὑμνούσαις Σε.

### Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Μακαρίζομέν Σε,
Θεοτόκε Παρθένε,
καὶ δοξάζομέν Σε,
οἱ πιστοὶ κατὰ χρέος,
τὴν πόλιν τὴν ἄσειστον,
τὸ τεῖχος τὸ ἄῤῥηκτον,
τὴν ἀῤῥαγῆ προστασίαν,
καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

# ΠΑΡΑΚΛΗΣΙΣ

Ψάλλεται ὁ Κανὼν τοῦ Ὄρθρου. Παρατίθενται μόνον τὰ συνήθη Προσόμοια εἰς τοὺς οἰκείους τόπους.

**Ἦχος δ΄. Ὁ ὑψωθείς.**

Τοῦ Ἱεράρχου τοῦ Χριστοῦ Ἰωάννου,
ἐν εὐλαβείᾳ ἐκτενῶς δεηθῶμεν,
καὶ τῷ ἀφθάρτῳ πίπτοντες Λειψάνῳ Αὐτοῦ,
χεῖρας ἐκπετάσωμεν πρὸς Αὐτὸν ἐκβοῶντες·
παῦσον τῶν παθῶν ἡμῶν τὸ κλυδώνιον Πάτερ,
καὶ τὴν εἰρήνην δώρησαι ἡμῖν,
τὴν πάντα νοῦν ὑπερέχουσαν Ἅγιε.

**Δόξα. Τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τῆς Μονῆς.**

**Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσωμέν ποτε Θεοτόκε,
τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι·
εἰ μὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα,
τὶς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ Σοῦ·
Σοὺς γὰρ δούλους σώζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

**Ἀπὸ γ΄ ᾠδῆς.**

**Ἦχος β΄. Τὰ ἄνω ζητῶν.**

Ἀφθάρτῳ τῷ Σῷ Λειψάνῳ νῦν προσπίπτοντες,
τὸ νέφος τῶν παθῶν αἰτοῦμέν Σε διάλυσον,
Ἰωάννη μάκαρ, τῶν Ὀρθοδόξων καύχημα·
ἔζησας καὶ γὰρ ἐν κόσμῳ βίον θαυμαστόν,
καὶ οἶκος Τριάδος θείας γέγονας.

**Ἀφ᾽ ϛ΄ ᾠδῆς.**

**Ἦχος β΄. Προστασία.**

Προσπεσόντας τῷ χαριτοβρύτῳ Λειψάνῳ Σου,
μὴ παρίδῃς ἡμᾶς, Ἰωάννη πανθαύμαστε,
τοὺς ἐν θλίψει χειμαζομένους ἅπαντας δεινῶς,
ἀλλὰ λύτρωσαι ἐκ τοῦ ἐχθροῦ,

τοὺς καταφεύγοντας εἰς Σέ,
Ἱεράρχα μακάριε·
λῦσον τὰς περιστάσεις,
καὶ δώρησαι εὐφροσύνην,
ἵνα δοξάζωμεν ἀεί,
τὸν δοξάσαντά Σε Κύριον.

## Μετὰ τὸ Εὐαγγέλιον.

### Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Κόσμου τὰς τερπνότητας,
ἀποσεισάμενος Πάτερ,
ὅλως ἐπεπόθησας,
τὴν μακαριότητα τὴν αἰώνιον·
θλίψεις γὰρ ἤνεγκας,
θείῳ τῷ ἔρωτι,
καὶ γενναίως ἠκολούθησας,
τρίβον οὐράνιον,
ποιμένων γενόμενος πρότυπον,
πάντοτε ἁλισκόμενος,
πρὸς οἰκοδομὴν τοῦ ποιμνίου Σου.
Ὅθεν Ἰωάννη,
ἐνῴκησεν ἡ Χάρις θαυμαστῶς,
ἐν τῷ ἀφθάρτῳ Λειψάνῳ Σου,
βρύουσα ἰάματα.

## Μεγαλυνάρια.

Χαῖρε Ἱεράρχα θαυματουργέ,
θεῖε Ἰωάννη,
τῶν ποιμένων ὑπογραμμέ·
Ῥωσίας ὁ γόνος,
θεράπων τῆς Παρθένου,
προστάτευε τιμῶντας,
θήκην Λειψάνου Σου.

Χαῖρε τῶν χαρίτων ὁ θησαυρός,
μάκαρ Ἰωάννη,
καὶ θαυμάτων ὁ ποταμός·
ἀεὶ ἡμᾶς σκέπε,

μετὰ τῆς ξυνωρίδος,
Κυπριανοῦ τοῦ θείου,
καὶ Ἰουστίνης σεμνῆς.

Χαῖρε ὁ βιώσας ὡς ἀσκητής,
Πάτερ Ἰωάννη,
Ἀσωμάτων ὁ μιμητής·
Μονὴν ἡμῶν θείαν,
στηρίζων μὴ ἐλλίπῃς,
μετὰ καὶ τῶν Ἀγγέλων,
εὐχαῖς Πατρὸς ἡμῶν.

**Μετὰ τὴν Ἀπόλυσιν.**
**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.**

Ὅτε Ἰωάννη θαυμαστέ,
τὴν τῶν Ἀσωμάτων ζηλώσας,
δοξολογίαν Θεοῦ,
ὕψωσας μακάριε,
πρὸς θεωρίαν τὸν νοῦν,
καὶ ἐν κόσμῳ ὡς ἄσαρκος,
ἐβίωσας Πάτερ,
χαρίσμασι Πνεύματος,
κατεκοσμήθης λαμπρῶς·
ὅθεν τοὺς προσπίπτοντας πίστει,
θήκῃ τοῦ Λειψάνου Σου ῥύῃ,
πάσης ἀσθενείας καὶ κακώσεως.

Στίχοι
Ἰωάννη, δέξαι μου τοῦτον τὸν πόνον,
Ὅν Σοι ἐξύφανον εὐχαῖς Πατρός μου.